UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Pœmenio Presbytero. 179.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Pœmenio Presbytero. 179.

Ad modeſtiæ ſummiſſioníſque animi faſtigium hac demum ratione conſcendemus (neque enim eum ego deſcenſum ſed aſcenſum eſſe ſtatuerim) ſi peſtiferũ & exitialem ſuperbiæ faſtum, atque ad orcum detrahentem arrogantiæ tumorem extinguamus, & in omnibus rebus modeſtiam colamus, nec quicquam, tanquam nullum hinc detrimentum accepturi, contemnamus. Etenim ea, quæ fiunt, anima ſequi conſueuit: atque naturæ vi ad ea, quæ ſtudio habet, ſeſe informat & effingit. Quamobrem ſit nobis & grauis habitus, & mitis obtutus, & demiſſum ſupercilium, & minimè ſuperbus inceſſus, & neceſſarius veſtitus, & humilis cathedra, & frugalis ac plebeius victus, & ſtragulum nihilo præſtantius quàm neceſſe ſit, & ſupellex ad tenuitatem ac vilitatẽ comparata, & domus Chriſtianis digna, itémque & ſermo, & vox, & congreſſus cum aliis ad modeſtiam potiùs quàm ad tumorem & arrogantiam ſpectet. Sic enim in omnibus rebus modeſtiam colentes ad cæleſtem arcem aſcendemus.

Alypio. 180.

Quoniam à me petiiſti quam ob cauſam Sara, quæ ætate admodum proceſſerat, ac præſente Abrahamo pepererat, dixit, Quis nunciabit Abraham, quòd Sara lactet filium? dicendum enim fuiſſe, *quòd pepererit*: hoc reſpondeo, iſtud, Quis nunciabit Abraham, perinde eſſe ac ſi diceret, O Abraham, quis in Perſidem nunciabit quòd Sara ſterilis & anus lactet? Nõ enim habetur, Quis nunciabit ipſi Abraham: ſed, Abraham. Quòd ſi non nimis contritum ac violentum hoc eſſe exiſtimet, fortaſſe ad aliquem, qui eodem, quo Abraham, nomine appellaretur, hæc verba habita ſunt. Ac propterea ne articulum quidem adiunxit. An autem eo quoque tempore abeſſet Patriarcha, dicere minimè habeo. Illud autem potiùs dixerim, quòd

Ποιμενίῳ πρεσβυτέρῳ. ροθ.

Εἰς τὴν τῆς ταπεινοφροσύνης κορυφὴν ἀναβησόμεθα. οὐ γὰρ ἂν κατάβασιν, ἀλλ' ἀνάβασιν ταύτην ἔγωγε ὁρισαίμην, εἰ τὸν ὀλέθριον τῆς ὑπερηφανίας ὄγκον, καὶ τὴν εἰς ᾅδου καταβιβάζουσαν τῆς ἀλαζονείας φλεγμονὴν σβέσοιμεν, καὶ διὰ πάντων ἀσκοῦμεν τὸ μέτριον, καὶ μηδὲν παρίδωμεν, ὡς οὐ παρὰ τοῦτο βλαβησόμενοι. τοῖς γὰρ πραττομένοις ἀκολουθεῖν εἴωθεν ἡ ψυχή, καὶ πρὸς ἃ ἐπιτηδεύει τυποῦσθαί τε καὶ σχηματίζεσθαι πέφυκεν. οὐκοῦν ἔστω ἡμῖν καὶ σχῆμα σεμνόν, καὶ βλέμμα ἥμερον, καὶ ὀφρὺς κατεσταλμένη, καὶ βάδισμα μὴ σεσοβημένον, καὶ ἱμάτιον χρειῶδες, καὶ καθέδρα ταπεινή, καὶ τροφὴ λιτή, καὶ στρωμνὴ μὴ τῆς χρείας κρείττων, καὶ ἔπιπλα πρὸς εὐτέλειαν ἠσκημένα, καὶ οἶκος πρέπων χριστιανοῖς, καὶ μὴν καὶ λόγος καὶ φωνή, καὶ ἡ πρὸς τοὺς πέλας ἔντευξις πρὸς μετριότητα μᾶλλον, ἢ πρὸς φλεγμονὴν βλεπέτω. οὕτω γὰρ διὰ πάντων ἀσκοῦντες τὸ μέτριον εἰς τὴν οὐράνιον κορυφὴν ἀναβησόμεθα.

Ἀλυπίῳ. ρπ.

Ἐπειδὴ ἔφης δι' ἣν αἰτίαν ἡ Σάῤῥα ὀψιγόνος γεγενημένη, καὶ παρόντος τοῦ Ἀβραὰμ τεκοῦσα, ἔφη, τίς ἀγγελεῖ Ἀβραάμ, ὅτι Σάῤῥα θηλάζει παιδίον; ἐχρῆν γὰρ εἰπεῖν, ὅτι τέτοκε. φημὶ, ὅτι τὸ μὲν τίς ἀναγγελεῖ Ἀβραάμ, τοιοῦτόν ἐστιν, ὦ Ἀβραάμ, τίς ἀναγγελεῖ εἰς τὴν Περσίδα, ὅτι Σάῤῥα ἡ στεῖρα καὶ γραῦς θηλάζει. οὐ γὰρ κεῖται, τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ἀλλὰ Ἀβραάμ. εἰ δὲ βίαιόν τις ἡγεῖται. ἴσως ὁμωνύμῳ τινὶ τοῦ Ἀβραάμ. διὸ οὐδὲ τὸ ἄρθρον προσέθηκεν. εἰ δὲ καὶ τότε ἀπὼν ἦν ὁ πατριάρχης, οὐκ ἔχω λέγειν. ἐκεῖνο δὲ μᾶλλον εἴποιμι. ὅτι εἰ περὶ αὐτοῦ νομίζουσι τινὲς εἰρῆσθαι, καὶ περὶ παρόντων λέγεται, ὡς καὶ τό, τίς ἀναγγελεῖ

τῷ κυρίῳ